eul_wid: edi-aa

*Τηλεκλείδης ὁ Κωμικός* · Telecleides Comicus

# Golden Age of Plenty

---

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 λέξω

book 1.2 τοίνυν βίον ἐξ ἀρχῆς ὃν ἐγὼ θνητοῖσι

book 1.3 παρεῖχον. εἰρήνη μὲν

book 1.4 πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός. ἡ γῆ δ’ ἔφερ’ οὐ δέος οὐδὲ νόσους, ἀλλ’ αὐτόματ’ ἦν τὰ[ln_3]δέοντα· οἴνῳ γὰρ ἅπας’ ἔρρει

book 1.5 χαράδρα, μᾶζαι δ’ ἄρτοις ἐμάχοντο[ln_5]περὶ τοῖς

book 1.6 στόμασιν τῶν ἀνθρώπων ἱκετεύουσαι καταπίνειν, εἴ τι

book 1.7 φιλοῖεν τὰς λευκοτάτας. οἱ δ’ ἰχθύες οἴκαδ’ ἰόντες ἐξοπτῶντες

book 1.8 σφᾶς αὐτοὺς ἂν

book 1.9 παρέκειντ’ ἐπὶ ταῖσι

book 1.10 τραπέζαις. ζωμοῦ δ’ ἔρρει

book 1.11 παρὰ τὰς κλίνας

book 1.12 ποταμὸς κρέα θερμὰ κυ-[ln_8]λίνδων, ὑποτριμματίων δ’ ὀχετοὶ τούτων

book 1.13 τοῖς βουλομένοισι

book 1.14 παρῆσαν,

book 1.1 [ln_10]ὥστ’ ἀφθονία τὴν ἔνθεσιν ἦν ἄρδονθ’ ἁπαλὴν καταπίνειν. λεκανίσκαισιν δ’ ἀνάπαιστα

book 1.2 παρῆν ἡδυσματίοις κατάπαστα. ὀπταὶ δὲ κίχλαι μετ’ ἀμητίσκων εἰς τὸν φάρυγ’ εἰσεπέτοντο· τῶν δὲ πλακούντων ὠστιζομένων

book 1.3 περὶ τὴν γνάθον ἦν ἀλα-[ln_13]λητός. μήτρας δὲ τόμοις καὶ χναυματίοις οἱ παῖδες ἂν ἠστραγά-[ln_14]λιζον.[ln_15]οἱ δ’ ἄνθρωποι πίονες ἦσαν τότε καὶ μέγα

book 1.4 χρῆμα γιγάντων.

book 2.1 ἀλλ’ ὦ πάντων ἀστῶν λῷστοι

book 2.2 σεῖσαι καὶ προσκαλέσασθαι, παύσασθε δικῶν ἀλληλοφάγων.

book 3 δουλοπόνηρον ῥυπαρὸν κόλυθρον

book 4.1 ὦ τὰ μὲν κομψοί, τὰ δὲ φαυλότεροι

book 4.2

φαυλίων μήλων.

book 5 ὡς καλοὶ καὶ φιβάλεῳ

book 10 τὰ δὲ τήγανα σίζοντά σοι μολύνεται.

book 13 δρεπτόν (μανδαλωτόν, γιγγλιμωτόν)

book 14.1 ἀλλ’ ἡ τάλαινα

book 14.2 Φιλοκλέα β δεν οὖν, εἰ δ’ ἐστὶν Αἰσχύλου

book 14.3 φρόνημ’ ἔχων.

book 19 κόγχη διελεῖν

book 20 διενεγκεῖν

book 21 οὐδαμῇ

book 23 Δάκης τίς ἐστιν ὅντιν’ ἀνθρώπων ὁρᾷς.

book 24-25.1 καὶ μελιχρὸν οἶνον ἕλκειν ἐξ ἡδύπνου λεπαστῆς

book 24-25.2 τυρίον ἐπεσθίοντα.

book 26 εὐχροεῖν, ὀρνιθοθηρᾶν, σωφρονεῖν

book 27 ναὶ μὰ τὰς κράμβας

book 28 δι’ ἡμέρας

book 30 ῥαγδαίους

book 31.1 ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ

book 31.2 φορῶ.

book 32 φιλῶ πλακοῦντα θερμόν, ἀχράδας οὐ φιλῶ, χαίρω λαγῴοις ἐπ’ ἀμύλῳ καθημένοις.

book 33 ὦ δέσποθ’ Ἑρμῆ, κάπτε τῶν θυλημάτων.

book 35.1 τίς ἥδε κραυγὴ καὶ δόμων

book 35.2 περίστασις;

book 36 πάντες δὲ τευτάζουσιν οἱ διάκονοι.

book 37 σὺ δὲ φρόνιμος αὐτὸς ὢν ἀπαρτὶ ταύτης τῆς τέχνης.

book 38 ξυγγενέσθαι διὰ χρόνου λιπαρείτω μου δρυπεπέσι μάζαις καὶ διασκανδικίσαι.

book 39-40.1 Φρύγες ἐστὶ καινὸν δρᾶμα

book 39-40.2 τοῦτ’ Εὐριπίδου, * * * * * ᾧ καὶ Σωκράτης τὰ φρύγαν’ ὑποτίθησι.

book 41.1 Χαρικλέης μὲν οὖν ἔδωκε μνᾶν, ἵν’ αὐτὸν μὴ λέγῃ ὡς ἔφυ τῇ μητρὶ παίδων

book 41.2 πρῶτος ἐκ βαλλαντίου. τέτταρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου· ὧν δ’ ἕκατι

book 41.3 τοῦτ’ ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ[ln_5]οὐκ ἐρῶ· φίλος γὰρ ἁνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

book 42.1 πόλεών

book 42.2 τε φόρους αὐτάς

book 42.3 τε πόλεις τὰς μὲν δεῖν τάς τ’ ἀναλύειν, λάινα

book 42.4 τείχη τὰ μὲν οἰκοδομεῖν τὰ δὲ αὐτὰ πάλιν καταβάλλειν, σπονδάς, δύναμιν, κράτος, εἰρήνην, πλοῦτόν τ’ εὐδαιμονίαν

book 42.5 τε.

book 43.1 ὅδ’ ἀπ’ Αἰγίνης νήσου

book 43.2 χωρεῖ δοθιῆνος ἔχων τὸ πρόσωπον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 44.1 μόνος ἐκ κεφαλῆς ἑνδεκακλίνου θόρυβον
book 44.2 πολὺν ἐξανατέλλει.
book 45.1 τῶν δυνατῶν
book 45.2 τι κέλευ’· οὐ γὰρ
book 45.3 παρὰ Κενταύροισιν.
book 47 καρηβαρικὸν τὸ πάθος
book 48 ἀκροκώλια δίεφθα
book 49 παιδοφίλης, παιδέρως Ζεύς
book 50 τραχήλου τύλαν
book 51 τῆς ἀγορασίας
book 52 ἀνηρώτιζεν
book 53 ἀπατήσει
book 54 βρέχειν
book 55 Βρόμιος
book 56 ἐργολήπτας
book 57 Εὐτρηΐους
book 58 ἰβύ
book 59 καθεδοῦμαι
book 60 λυχνοκῶσα
book 61 μανόν
book 62 μέμφειραν
book 63 μόμφιν
book 64 σαβαρίχιν
book 65 σάθων
book 66 τερπότραμις

Eulogikon public reading copy · View original HTML at eulogikon.org